οὐδὲ ἁλίσκεται ‘σκιὰν καταμετρῶν ἐπὶ δεῖπνον’, οὐδ’ ἔρριπται
μεθυσθεὶς ὅπως ἔτυχεν, ἀλλὰ νήφει τὰ πολλὰ καὶ πολυπραγ- E
μονεῖ καὶ πράξεων μετέχειν οἴεται δεῖν καὶ λόγων ἀπορρήτων
βούλεται κοινωνὸς εἶναι, καὶ ὅλως τραγικός ἐστιν οὐ σατυρι-
κὸς φιλίας ὑποκριτὴς οὐδὲ κωμικός. ὡς γὰρ ὁ Πλάτων φησίν
(Rep. 361 a) ‘ἐσχάτης ἀδικίας εἶναι δοκεῖν δίκαιον μὴ ὄντα’,
καὶ κολακείαν ἡγητέον χαλεπὴν τὴν λανθάνουσαν οὐ τὴν ὁμο-
λογοῦσαν, οὐδὲ τὴν παίζουσαν ἀλλὰ τὴν σπουδάζουσαν· αὕτη
γὰρ ἀναπίμπλησι καὶ τὴν ἀληθινὴν φιλίαν ἀπιστίας, συνεμπί-
πτουσαν αὐτῇ πολλάκις, ἂν μὴ προσέχωμεν. ὁ μὲν οὖν Γω-
βρύης εἰς σκοτεινὸν οἴκημα τῷ μάγῳ φεύγοντι συνεισπεσὼν
καὶ γενόμενος ἐν διαπάλαις ἐπιστάντα καὶ διαποροῦντα τὸν F
Δαρεῖον ἐκέλευσεν ὠθεῖν καὶ δι’ ἀμφοτέρων· ἡμεῖς δέ, εἰ
μηδαμῇ μηδαμῶς ἐπαινοῦμεν τὸ ‘ἐρρέτω φίλος σὺν ἐχθρῷ’
(Tr. ad. 362), διὰ πολλῶν ὁμοιοτήτων τὸν κόλακα τῷ φίλῳ συμ-
πεπλεγμένον ἀποσπάσαι ζητοῦντες | ὀφείλομεν εὖ μάλα φο- 51
βεῖσθαι μή πως ἢ τῷ κακῷ τὸ χρήσιμον συνεκβάλωμεν ἢ φει-
δόμενοι τοῦ οἰκείου τῷ βλάπτοντι περιπέσωμεν. ὥσπερ γὰρ
οἶμαι τῶν ἀγρίων σπερμάτων ὅσα καὶ σχῆμα καὶ μέγεθος
παραπλήσιον ἔχοντα τῷ πυρῷ συμμέμικται χαλεπὴν ἔχει τὴν
ἀποκάθαρσιν (ἢ γὰρ οὐ διεκπίπτει τῶν στενοτέρων πόρων ἢ
συνεκπίπτει διὰ τῶν ἀραιῶν), οὕτως ἡ κολακεία τῆς φιλίας
εἰς πᾶν πάθος καὶ πᾶν κίνημα καὶ χρείαν καὶ συνήθειαν ἑαυ-
τὴν καταμιγνύουσα δυσχώριστός ἐστιν.

**5.** Ὅτι μέντοι γε πάντων ἥδιστον ἡ φιλία καὶ οὐδὲν ἄλλο
μᾶλλον εὐφραίνει, διὰ τοῦτο καὶ ὁ κόλαξ ἡδοναῖς ὑπάγεται
καὶ περὶ ἡδονάς ἐστιν. ὅτι δ’ ἡ χάρις καὶ ἡ χρεία τῇ φιλίᾳ B
παρέπεται (καθ’ ὃ δὴ καὶ λέλεκται πυρὸς καὶ ὕδατος ὁ φίλος
ἀναγκαιότερος εἶναι), διὰ τοῦτο ἐμβάλλων εἰς τὰς ὑπουργίας